ἐπὶ πᾶσαν χθόνα ποιμα-
νόριον θεῖον ἐλαύνει
διχόθεν, πεζονόμοις ἔκ τε θαλάσσης
ἐχυροῖσι πεποιθὼς
στυφελοῖς ἐφέταις, χρυ-
σογόνου γενεᾶς ἰσόθεος φώς.
str. 2. κυάνεον δ' ὄμμασι λεύσσων
φονίου δέργμα δράκοντος,
πολύχειρ καὶ πολυναύτης,
Σύριόν θ' ἅρμα διώκων,
ἐπάγει δουρικλύτοις ἀν-
δράσι τοξόδαμνον Ἄρη.
antistr. 2. δόκιμος δ' οὔτις ὑποστὰς
μεγάλῳ ῥεύματι φωτῶν
ἐχυροῖς ἕρκεσιν εἴργειν
ἄμαχον κῦμα θαλάσσης·
ἀπρόσοιστος γὰρ ὁ Περσῶν
στρατὸς ἀλκίφρων τε λαός.
str. 3. θεόθεν γὰρ κατὰ μοῖρ'

75. τὴν Εὐρώπην. ποιμνίον. τὸ ἀνδρικὸν πλῆθος, σημαῖνον τὸ στράτευμα παρὰ τὸ τοὺς βασιλεῖς λέγεσθαι ποιμένας. ποιμανόριον τὸ ἐκ ποίμνης ἀνδρῶν συνηγμένον βασίλειον. 79. σκληροῖς ἡγεμόσιν. 79. 80. χρυσονόμου γενεᾶς: νῦν τῆς πλουσίας. τινὲς γὰρ ἀνέγνωσαν χρυσογόνου διὰ τὸ τὸν Περσέα ἀπὸ χρυσοῦ γεγεννῆσθαι· ὃ καὶ βέλτιον. ἄλλως. τῆς Περσέως γενεᾶς ἀπόγονος· ἢ τῆς τῶν χρυσῶν ἀνθρώπων· ἢ πολυχρύσου. 84. Σύριον δ' ἅρμα: ἀντὶ τοῦ Ἀσσύριον· οἱ γὰρ Πέρσαι τὸ πρότερον Ἀσσύριοι ἐκαλοῦντο. 85. τοῖς Ἀθηναίοις. 86. τὸν τῶν Περσῶν· τοξόται γάρ. 87. δόκιμος: ἀνδρεῖος, δόκησιν περὶ ἑαυτοῦ ἔχων μεγάλην. ἀντιστάς, ἀντιμαχησάμενος. 89. οὔτ' ἄρα ἕρκεα ἴσχει (Hom. Il. E. 90). τάξεσιν. 90. ἄμαχον κῦμα θαλάσσας: τὴν προσβολὴν τῶν Περσῶν. 91. ἀκαταμάχητος. 92. ἐπὶ τοῦ αὐτοῦ στρατὸς καὶ λαός.

---

78. ἐχυροῖσι (ο superscript) M. 79. χρυσονόμου M. 80. ἰσόθεος recc.: ἰσόθεον M. 81. λεύσων M. 82. φονίου Turnebus: φοινίου M. δέργμα recc.: δέρμα M.